eul_wid: hvm-ac

*Φιλίτας ὁ Κῷος* · Philetas of Cos

# Fragments of Endurance and Fate

*Ἀποσπάσματα Καρτερίας καὶ Μοίρας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 [ln_1]Νῦν δ' αἰεὶ πέσσω· τὸ δ' ἀέξεται ἄλλο νεῶρες [para]πῆμα· κακοῦ δ' οὔπω γίγνεται ἡσυχίη.

book 2.1 Ἀλλ' ὅτ' ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει· καὶ γάρ

book 2.2 τις μελέοιο κορεσσάμενος κλαυθμοῖο [para]κήδεα δειλαίων εἶλεν ἀπὸ πραπίδων ...

book 3.1 Τω ου μοι

book 3.2 πολέων γαίης ὕπερ ἠδὲ θαλάσσης [para]ἐκ Διὸς ὡραίων ἐρχομένων ἐτέων. Οὐδ' ἀπὸ Μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν [para]ἔμπεδ' ἀεί, καὶ τοῖς ἄλλα

book 3.3 προσαυξάνεται.

book 4.1 Φλιοῦς γὰρ πόλις ἐστί, Διωνύσου φίλος υἱὸς

book 4.2 Φλιοῦς ἣν αὐτὸς δείματο, λευκόλοφος.

book 6.1 Ἀτραπὸν εἰς Ἀίδαο ἤνυσα, τὴν οὔπω

book 6.2 τις ἐναντίον ἦλθεν ὁδίτης.

book 7.1 Ἦ μὲν γὰρ

book 7.2 πολέεσσι

book 7.3 πεφύρησαι

book 7.4 χαλεποῖσι, θυμέ, γαληναίῃ δ' ἐπιμίσγεαι οὐδ' ὅσον ὅσσον, ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνῖαι

book 7.5 τετρήχασιν.

book 8.1 Ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς Ἀνάγκη, ἥ ῥ' οὐδ' ἀθανάτους ὑποδείδιεν οἵ τ' ἐν Ὀλύμπῳ ἔκτοσθεν

book 8.2 χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.

book 9 Ἀγαθὴ δ' ἔπι ἤθεσιν αἰδώ.

book 10.1 Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης [para]αἱρήσει κλήθρην, αἱρόμενος μακέλην· ἀλλ' ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας μύθων

book 10.2 παντοίων οἶμον ἐπιστάμενος.

book 11.1 Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια, καί τι

book 11.2

προσηνὲς [para]εἰπεῖν, μεμνῆσθαί τ’ οὐκέτ’ ἐόντος ὁμῶς.

book 12.1 Οὐ κλαίω ξείνων

book 12.2 σε, φιλαίτατε· πολλὰ γὰρ ἔγνως [para]καλά· κακῶν δ’ αὖ σοι μοῖραν ἔνειμε θεός.

book 13.1 Γαῖαν μὲν

book 13.2 φανέουσι θεοί ποτε· νῦν δὲ πάρεστιν [para]λαιψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

book 14.1 Θρήσασθαι

book 14.2 πλατάνῳ γραίῃ ὕπο

book 16.1 Γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ψυχὴν ὀλέσασα, ὀξείης κάκτου τύμμα

book 16.2 φυλαξαμένη.

book 17.1 Λευγαλέος δὲ χιτὼν

book 17.2 πεπινωμένος, ἀμφὶ δ’ ἀραιὴ [para]ἰξὺς εἴλυται ῥάμμα μελαγκράνινον.

book 18 Τά οἵ ποτε Κύπρις ἑλοῖσα μᾶλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.

book 19.1 Δμωίδες εἰς

book 19.2 ταλάρους λευκὸν ἄγουσιν ἔρι.

book 20 Οὐδ’ ὕκης ἰχθὺς ἔσχατος ἐξέφυγεν.

book 21 Νήχυτον ὕδωρ

book 22.1 Βουγενέας φάμενος

book 22.2 προσεβήσαο μακρὰ μελίσσας

book 23 Καί κεν Ἀθηναίης δολιχαόρου ἱερὸν ἄστυ

book 24.1 Νάσσατο δ’ ἐν

book 24.2 προχοῇσι μελαμπέτροιο Βυρίνης.

book 25 Νισύριοι μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοὶ ἀνδράσι πὰρ Κῴοισιν, ἐλεύθερον ἆμαρ ἔχοντες, δούλων δ’ οὔτις πάμπαν ἐσέρχεται οὐδ’ ἠβαιόν.

book 26 Θοὴ δ’ ὑπεδέξατο γαῖα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org